# El Ática y Atenas.

ἐν τοῖς τῆς Ἀττικῆς πεδίοις καὶ ἐν τοῖς ἀγροῖς ἦν πρόβατα, καὶ ἵπποι, καὶ βοτάναι παντοδαπαί, καὶ ἐλαῖαι, καὶ ἄμπελοι, καὶ συκαῖ. αἱ μὲν ἐλαῖαι ἦσαν δῶρα τῆς Ἀθηνᾶς, αἱ δὲ ἄμπελοι τοῦ Διονύσου.

καλὰ καὶ μεγάλα μαρμάρου μέταλλα ἦν ἐν τοῖς τοῦ Ὑμηττοῦ καὶ τοῦ Πεντελικοῦ λόφοις. ἀξιόλαγα δε ἦν τὰ ἐν τῷ Λαυρίῳ ἀργύρεια.

ἡ τῶν Ἀθηνῶν ἄκρα πέτρα ἐστὶν ἐν τῷ Κηφισοῦ πεδίῳ. ἐπι δὲ τῇ πέτρᾳ ἐστὶ τὸ τῆς Ἀθηνᾶς ἱερόν, καὶ ἐν τῷ ἱερῷ τὸ τοῦ Φειδίου ἔργον ἐλεφάντινον, ἡ Ἀηενᾶ. ἐστὶ καὶ ἐν Ἀθήναις παντοδαπὰ τῶν τεχνιτῶν ἔργα, τὸ Λύκειον, καὶ τὸ Θησεῖον, καὶ ἡ Ἀκαδημία, καὶ ἡ Ποικίλη στοά, καὶ ἱερὰ θαυμαστά.

τὸ πεδίον, -ου.- llanura
τὸ πρόβατον, -ου.- animales domésticos
ὁ ἱππος, -ου.- caballos
παντοδαπός, -η, -ον.- diverso/a
βοτάνη, -ης.- planta
ἐλαία, -ας.- olivo
ἄμπελος, -ου ἡ.- vid
συκῆ, -ῆς.- higuera.
δῶρον, -ου.- regalo
μαρμαρος, -η, -ον.- mármol

τὸ μέταλλον, -ου.- mina
λόφος, -ου.- colina
ἀργύρεια, -ῶν τὰ.- mina de plata
ἀξιόλογος, -ον.- famoso/a
ἄκρα, ας.- cima
τὸ ἱερον, -ου.- templo
τὸ εργον, -ου.- trabajo.
ἐλεφάντινος, -η, -ον.- de marfil
τεχνίτης, -ου ὁ.- artesano
θαυμαστός, -η, -ον.- asombroso/a

